# Πρὸς Θεσσαλονικεῖς β′

**1** Παῦλος καὶ Σιλουανὸς[a] καὶ Τιμόθεος[b] τῇ ἐκκλησίᾳ Θεσσαλονικέων[c] ἐν
θεῷ πατρὶ ἡμῶν καὶ κυρίῳ Ἰησοῦ Χριστῷ· 2 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ
⸀πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ. 3 Εὐχαριστεῖν[a] ὀφείλομεν[b] τῷ θεῷ
πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν,[c] ὅτι ὑπεραυξάνει[d] ἡ πίστις
ὑμῶν καὶ πλεονάζει[e] ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους,
4 ὥστε ⸂αὐτοὺς ἡμᾶς⸃ ἐν ὑμῖν ⸀ἐγκαυχᾶσθαι[a] ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ
ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσιν τοῖς διωγμοῖς[b] ὑμῶν καὶ ταῖς
θλίψεσιν αἷς ἀνέχεσθε,[c] 5 ἔνδειγμα[a] τῆς δικαίας κρίσεως τοῦ θεοῦ, εἰς τὸ
καταξιωθῆναι[b] ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε,[c] 6 εἴπερ[a]
δίκαιον παρὰ θεῷ ἀνταποδοῦναι[b] τοῖς θλίβουσιν[c] ὑμᾶς θλῖψιν 7 καὶ ὑμῖν τοῖς
θλιβομένοις[a] ἄνεσιν[b] μεθ’ ἡμῶν ἐν τῇ ἀποκαλύψει[c] τοῦ κυρίου Ἰησοῦ ἀπ’
οὐρανοῦ μετ’ ἀγγέλων δυνάμεως αὐτοῦ 8 ἐν ⸂φλογὶ[a] πυρός⸃, διδόντος[b]
ἐκδίκησιν[c] τοῖς μὴ εἰδόσι[d] θεὸν καὶ τοῖς μὴ ὑπακούουσιν[e] τῷ εὐαγγελίῳ τοῦ
κυρίου ἡμῶν Ἰησοῦ, 9 οἵτινες δίκην[a] τίσουσιν[b] ὄλεθρον[c] αἰώνιον ἀπὸ προσώπου
τοῦ κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος[d] αὐτοῦ, 10 ὅταν ἔλθῃ[a] ἐνδοξασθῆναι[b]
ἐν τοῖς ἁγίοις αὐτοῦ καὶ θαυμασθῆναι[c] ἐν πᾶσιν τοῖς πιστεύσασιν,[d] ὅτι
ἐπιστεύθη[e] τὸ μαρτύριον[f] ἡμῶν ἐφ’ ὑμᾶς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. 11 εἰς ὃ καὶ
προσευχόμεθα[a] πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ[b] τῆς κλήσεως[c] ὁ θεὸς

---

**Chapter 1**

1 a NNMS Σιλουανός *Silas*
 b NNMS Τιμόθεος *Timothy*
 c NGMP Θεσσαλονικεύς *Thessalonian*
3 a VNPA
 b V1PPAI
 c V3SPAI
 d V3SPAI ὑπεραυξάνω *to increase exceedingly*
 e V3SPAI πλεονάζω *to make increase*
4 a VNPM ἐγκαυχάομαι *to boast*
 b NDMP διωγμός *persecution*
 c V2PPMI ἀνέχομαι *to put up with*
5 a NNNS ἔνδειγμα *evidence*
 b VNAP καταξιόω *to be counted worthy*
 c V2PPAI
6 a εἴπερ *if indeed*
 b VNAA ἀνταποδίδωμι *to repay*
 c VPPADMP θλίβω *to press upon*
7 a VPPPDMP θλίβω *to press upon*
 b NAFS ἄνεσις *rest*
 c NDFS ἀποκάλυψις *revelation*
8 a NDFS φλόξ *flame*
 b VPPAGMS
 c NAFS ἐκδίκησις *justice*
 d VPRADMP
 e VPPADMP ὑπακούω *to obey*
9 a NAFS δίκη *punishment*
 b V3PFAI τίνω *to pay*
 c NAMS ὄλεθρος *destruction*
 d NGFS ἰσχύς *strength*
10 a V3SAAS
 b VNAP ἐνδοξάζομαι *to be glorified*
 c VNAP
 d VPAADMP
 e V3SAPI
 f NNNS μαρτύριον *testimony*
11 a V1PPMI
 b V3SAAS ἀξιόω *to consider worthy*
 c NGFS κλῆσις *call*

ἡμῶν καὶ πληρώσῃ[d] πᾶσαν εὐδοκίαν[e] ἀγαθωσύνης[f] καὶ ἔργον πίστεως ἐν
δυνάμει, 12 ὅπως ἐνδοξασθῇ[a] τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἐν ὑμῖν, καὶ
ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ θεοῦ ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

**2** Ἐρωτῶμεν[a] δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας[b] τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς[c] ἐπ’ αὐτόν, 2 εἰς τὸ μὴ ταχέως[a] σαλευθῆναι[b]
ὑμᾶς ἀπὸ τοῦ νοὸς[c] ⸀μηδὲ θροεῖσθαι[d] μήτε διὰ πνεύματος μήτε διὰ λόγου μήτε
δι’ ἐπιστολῆς[e] ὡς δι’ ἡμῶν, ὡς ὅτι ἐνέστηκεν[f] ἡ ἡμέρα τοῦ ⸀κυρίου. 3 μή τις
ὑμᾶς ἐξαπατήσῃ[a] κατὰ μηδένα τρόπον·[b] ὅτι ἐὰν μὴ ἔλθῃ[c] ἡ ἀποστασία[d]
πρῶτον καὶ ἀποκαλυφθῇ[e] ὁ ἄνθρωπος τῆς ⸀ἀνομίας,[f] ὁ υἱὸς τῆς ἀπωλείας,[g] 4 ὁ
ἀντικείμενος[a] καὶ ὑπεραιρόμενος[b] ἐπὶ πάντα λεγόμενον[c] θεὸν ἢ σέβασμα,[d]
ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ ⸀θεοῦ καθίσαι[e] ἀποδεικνύντα[f] ἑαυτὸν ὅτι ἔστιν[g]
θεός. 5 οὐ μνημονεύετε[a] ὅτι ἔτι ὢν[b] πρὸς ὑμᾶς ταῦτα ἔλεγον[c] ὑμῖν; 6 καὶ νῦν
τὸ κατέχον[a] οἴδατε,[b] εἰς τὸ ἀποκαλυφθῆναι[c] αὐτὸν ἐν τῷ ⸀ἑαυτοῦ καιρῷ· 7 τὸ
γὰρ μυστήριον[a] ἤδη ἐνεργεῖται[b] τῆς ἀνομίας·[c] μόνον ὁ κατέχων[d] ἄρτι ἕως ἐκ
μέσου γένηται.[e] 8 καὶ τότε ἀποκαλυφθήσεται[a] ὁ ἄνομος,[b] ὃν ὁ κύριος ⸀Ἰησοῦς
⸀ἀνελεῖ[c] τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει[d] τῇ ἐπιφανείᾳ[e] τῆς

---

d V3SAAS
e NAFS εὐδοκία *goodwill*
f NGFS ἀγαθωσύνη *goodness*
12 a V3SAPS ἐνδοξάζομαι *to be glorified*

**Chapter 2**

1 a V1PPAI
b NGFS παρουσία *presence*
c NGFS ἐπισυναγωγή *gathering*
2 a ταχέως *quickly*
b VNAP σαλεύω *to shake up*
c NGMS νοῦς *mind*
d VNPP θροέομαι *to be alarmed*
e NGFS ἐπιστολή *letter*
f V3SRAI ἐνίστημι *to be present*
3 a V3SAAS ἐξαπατάω *to deceive*
b NAMS τρόπος *manner*
c V3SAAS
d NNFS ἀποστασία *turning away*
e V3SAPS ἀποκαλύπτω *to reveal*
f NGFS ἀνομία *wickedness*
g NGFS ἀπώλεια *destruction*
4 a VPPMNMS ἀντίκειμαι *to be an opponent*
b VPPMNMS ὑπεραίρομαι *to become conceited*
c VPPPAMS
d NANS σέβασμα *object of worship*
e VNAA
f VPPAAMS ἀποδείκνυμι *to display*
g V3SPAI
5 a V2PPAI μνημονεύω *to remember*
b VPPANMS
c V1SIAI
6 a VPPAANS κατέχω *to hold back*
b V2PRAI
c VNAP ἀποκαλύπτω *to reveal*
7 a NNNS μυστήριον *mystery*
b V3SPMI ἐνεργέω *to be at work in*
c NGFS ἀνομία *wickedness*
d VPPANMS κατέχω *to hold back*
e V3SAMS
8 a V3SFPI ἀποκαλύπτω *to reveal*
b NNMS ἄνομος *without law*
c V3SFAI ἀναιρέω *to kill*
d V3SFAI καταργέω *to nullify*
e NDFS ἐπιφάνεια *appearing*

παρουσίας[f] αὐτοῦ, 9 οὗ ἐστιν[a] ἡ παρουσία[b] κατ’ ἐνέργειαν[c] τοῦ Σατανᾶ ἐν
πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασιν[d] ψεύδους[e] 10 καὶ ἐν πάσῃ ἀπάτῃ[a]
⸀ἀδικίας[b] τοῖς ἀπολλυμένοις,[c] ἀνθ’[d] ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ
ἐδέξαντο[e] εἰς τὸ σωθῆναι[f] αὐτούς· 11 καὶ διὰ τοῦτο ⸀πέμπει[a] αὐτοῖς ὁ θεὸς
ἐνέργειαν[b] πλάνης[c] εἰς τὸ πιστεῦσαι[d] αὐτοὺς τῷ ψεύδει,[e] 12 ἵνα κριθῶσιν[a]
⸀πάντες οἱ μὴ πιστεύσαντες[b] τῇ ἀληθείᾳ ἀλλὰ εὐδοκήσαντες[c] ⸀τῇ ἀδικίᾳ.[d]
13 Ἡμεῖς δὲ ὀφείλομεν[a] εὐχαριστεῖν[b] τῷ θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ
ἠγαπημένοι[c] ὑπὸ κυρίου, ὅτι εἵλατο[d] ὑμᾶς ὁ θεὸς ⸀ἀπαρχὴν[e] εἰς σωτηρίαν ἐν
ἁγιασμῷ[f] πνεύματος καὶ πίστει ἀληθείας, 14 εἰς ⸀ὃ ἐκάλεσεν[a] ὑμᾶς διὰ τοῦ
εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν[b] δόξης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
15 ἄρα οὖν, ἀδελφοί, στήκετε,[a] καὶ κρατεῖτε[b] τὰς παραδόσεις[c] ἃς ἐδιδάχθητε[d]
εἴτε διὰ λόγου εἴτε δι’ ἐπιστολῆς[e] ἡμῶν. 16 Αὐτὸς δὲ ὁ κύριος ἡμῶν Ἰησοῦς
Χριστὸς καὶ ⸀θεὸς ⸀ὁ πατὴρ ἡμῶν, ὁ ἀγαπήσας[a] ἡμᾶς καὶ δοὺς[b] παράκλησιν[c]
αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, 17 παρακαλέσαι[a] ὑμῶν τὰς καρδίας καὶ
⸀στηρίξαι[b] ἐν παντὶ ⸂ἔργῳ καὶ λόγῳ⸃ ἀγαθῷ.

**3** Τὸ λοιπὸν προσεύχεσθε,[a] ἀδελφοί, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ κυρίου
τρέχῃ[b] καὶ δοξάζηται[c] καθὼς καὶ πρὸς ὑμᾶς, 2 καὶ ἵνα ῥυσθῶμεν[a] ἀπὸ τῶν
ἀτόπων[b] καὶ πονηρῶν ἀνθρώπων, οὐ γὰρ πάντων ἡ πίστις. 3 πιστὸς δέ ἐστιν[a]

---

f NGFS παρουσία *presence*
9 a V3SPAI
b NNFS παρουσία *presence*
c NAFS ἐνέργεια *working*
d NDNP τέρας *wonder*
e NGNS ψεῦδος *lie*
10 a NDFS ἀπάτη *deception*
b NGFS ἀδικία *wickedness*
c VPPMDMP
d ἀντί *in exchange for*
e V3PAMI
f VNAP
11 a V3SPAI
b NAFS ἐνέργεια *working*
c NGFS πλάνη *error*
d VNAA
e NDNS ψεῦδος *lie*
12 a V3PAPS
b VPAANMP
c VPAANMP εὐδοκέω *to be well pleased*
d NDFS ἀδικία *wickedness*
13 a V1PPAI
b VNPA
c VPRPMP
d V3SAMI αἱρέομαι *to choose*
e NAFS ἀπαρχή *firstfruits*
f NDMS ἁγιασμός *holiness*
14 a V3SAAI
b NAFS περιποίησις *possession*
15 a V2PPAM στήκω *to stand*
b V2PPAM
c NAFP παράδοσις *tradition*
d V2PAPI
e NGFS ἐπιστολή *letter*
16 a VPAANMS
b VPAANMS
c NAFS παράκλησις *encouragement*
17 a V3SAAO
b V3SAAO στηρίζω *to strengthen*
**Chapter 3**
1 a V2PPMM
b V3SPAS τρέχω *to run*
c V3SPPS
2 a V1PAPS ῥύομαι *to rescue*
b NGMP ἄτοπος *wrong*
3 a V3SPAI

ὁ κύριος, ὃς στηρίξει[b] ὑμᾶς καὶ φυλάξει[c] ἀπὸ τοῦ πονηροῦ. 4 πεποίθαμεν[a] δὲ
ἐν κυρίῳ ἐφ’ ὑμᾶς, ὅτι ἃ ⸀παραγγέλλομεν[b] καὶ ποιεῖτε[c] καὶ ποιήσετε.[d] 5 ὁ δὲ
κύριος κατευθύναι[a] ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ θεοῦ καὶ εἰς τὴν
ὑπομονὴν τοῦ Χριστοῦ. 6 Παραγγέλλομεν[a] δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ
κυρίου ⸀ἡμῶν Ἰησοῦ Χριστοῦ στέλλεσθαι[b] ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως[c]
περιπατοῦντος[d] καὶ μὴ κατὰ τὴν παράδοσιν[e] ἣν ⸀παρελάβοσαν[f] παρ’ ἡμῶν.
7 αὐτοὶ γὰρ οἴδατε[a] πῶς δεῖ[b] μιμεῖσθαι[c] ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν[d] ἐν ὑμῖν
8 οὐδὲ δωρεὰν[a] ἄρτον ἐφάγομεν[b] παρά τινος, ἀλλ’ ἐν κόπῳ[c] καὶ μόχθῳ[d]
⸂νυκτὸς καὶ ἡμέρας⸃ ἐργαζόμενοι[e] πρὸς τὸ μὴ ἐπιβαρῆσαί[f] τινα ὑμῶν· 9 οὐχ
ὅτι οὐκ ἔχομεν[a] ἐξουσίαν, ἀλλ’ ἵνα ἑαυτοὺς τύπον[b] δῶμεν[c] ὑμῖν εἰς τὸ
μιμεῖσθαι[d] ἡμᾶς. 10 καὶ γὰρ ὅτε ἦμεν[a] πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν[b]
ὑμῖν, ὅτι εἴ τις οὐ θέλει[c] ἐργάζεσθαι[d] μηδὲ ἐσθιέτω.[e] 11 ἀκούομεν[a] γάρ τινας
περιπατοῦντας[b] ἐν ὑμῖν ἀτάκτως,[c] μηδὲν ἐργαζομένους[d] ἀλλὰ
περιεργαζομένους·[e] 12 τοῖς δὲ τοιούτοις παραγγέλλομεν[a] καὶ παρακαλοῦμεν[b]
⸂ἐν κυρίῳ Ἰησοῦ Χριστῷ⸃ ἵνα μετὰ ἡσυχίας[c] ἐργαζόμενοι[d] τὸν ἑαυτῶν ἄρτον
ἐσθίωσιν.[e] 13 ὑμεῖς δέ, ἀδελφοί, μὴ ⸀ἐγκακήσητε[a] καλοποιοῦντες.[b] 14 Εἰ δέ
τις οὐχ ὑπακούει[a] τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς,[b] τοῦτον σημειοῦσθε,[c] ⸀μὴ
⸀συναναμίγνυσθαι[d] αὐτῷ, ἵνα ἐντραπῇ·[e] 15 καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε,[a] ἀλλὰ

---

b V3SFAI στηρίζω *to strengthen*
c V3SFAI
4 a V1PRAI
b V1PPAI
c V2PPAI
d V2PFAI
5 a V3SAAO κατευθύνω *to guide*
6 a V1PPAI
b VNPM στέλλομαι *to avoid*
c ἀτάκτως *disorderly*
d VPPAGMS
e NAFS παράδοσις *tradition*
f V3PAAI
7 a V2PRAI
b V3SPAI
c VNPM μιμέομαι *to imitate*
d V1PAAI ἀτακτέω *to be idle*
8 a δωρεάν *freely*
b V1PAAI
c NDMS κόπος *labor*
d NDMS μόχθος *toil*
e VPPMNMP
f VNAA ἐπιβαρέω *to burden*
9 a V1PPAI
b NAMS τύπος *pattern*
c V1PAAS
d VNPM μιμέομαι *to imitate*
10 a V1PIAI
b V1PIAI
c V3SPAI
d VNPM
e V3SPAM
11 a V1PPAI
b VPPAAMP
c ἀτάκτως *disorderly*
d VPPMAMP
e VPPMAMP περιεργάζομαι *to be a busybody*
12 a V1PPAI
b V1PPAI
c NGFS ἡσυχία *quietness*
d VPPMNMP
e V3PPAS
13 a V2PAAS ἐγκακέω *to give up*
b VPPANMP καλοποιέω *to do what is right*
14 a V3SPAI ὑπακούω *to obey*
b NGFS ἐπιστολή *letter*
c V2PPMM σημειόομαι *to take special note of*
d VNPM συναναμίγνυμι *to associate with*
e V3SAPS ἐντρέπω *to cause shame*
15 a V2PPMM ἡγέομαι *to lead*

νουθετεῖτε[b] ὡς ἀδελφόν. 16 Αὐτὸς δὲ ὁ κύριος τῆς εἰρήνης δῴη[a] ὑμῖν τὴν
εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ.[b] ὁ κύριος μετὰ πάντων ὑμῶν. 17 Ὁ
ἀσπασμὸς[a] τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστιν[b] σημεῖον ἐν πάσῃ ἐπιστολῇ·[c] οὕτως
γράφω.[d] 18 ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ⸀ὑμῶν.

---

b V2PPAM νουθετέω *to warn*
16 a V3SAAO
b NDMS τρόπος *manner*
17 a NNMS ἀσπασμός *greeting*
b V3SPAI
c NDFS ἐπιστολή *letter*
d V1SPAI